# <u>Παρακλητικός Κανων εις τον Αρχάγγελο Μιχαήλ Πανορμίτη</u>



**Ευλογήσαντος του Ιερέως, λέγομεν ημείς τον ΡΜΒ′ (142) Ψαλμόν.**

**ΨΑΛΜΟΣ 142ος**

Κύριε, εισάκουσον της προσευχής μου, ενώτισαι την δέησίν μου εν τη αληθεία σου, εισάκουσόν μου εν τη δικαιοσύνη σου. Και μη εισέλθης εις κρίσιν μετά του δούλου σου, ότι ου δικαιωθήσεται ενώπιόν σου πας ζων. Ότι κατεδίωξεν ο εχθρός την ψυχήν μου˙ εταπείνωσεν εις γην την ζωήν μου. Εκάθισέ με εν σκοτεινοίς, ως νεκρούς αιώνος, και ηκηδίασεν επ′ εμέ το πνεύμά μου, εν εμοί εταράχθη η καρδία μου. Εμνήσθην ημερών αρχαίων, εμελέτησα εν πάσι τοις έργοις σου, εν ποιήμασι των χειρών σου εμελέτων. Διεπέτασα προς σε τας χείράς μου˙ η ψυχή μου ως γη άνυδρός σοι. Ταχύ εισάκουσόν μου, Κύριε, εξέλιπε το πνεύμά μου. Μη αποστρέψης το πρόσωπόν σου απ′ εμού, και ομοιωθήσομαι τοις καταβαίνουσιν εις λάκκον. Ακουστόν ποίησόν μοι το πρωΐ το έλεός σου, ότι επί σοι ήλπισα. Γνώρισόν μοι, Κύριε, οδόν εν ή πορεύσομαι, ότι προς σε ήρα την ψυχήν μου. Εξελού με εκ των εχθρών μου, Κύριε, προς σε κατέφυγον˙ δίδαξόν με του ποιείν το θέλημά σου, ότι συ ο Θεός μου. Το Πνεύμα σου το αγαθόν οδηγήσει με εν γη ευθεία˙

ένεκεν του ονόματός σου, Κύριε, ζήσεις με. Εν τη δικαιοσύνη σου εξάξεις εκ θλίψεως την ψυχήν μου, και εν τω ελέει σου εξολοθρεύσεις τους εχθρούς μου. Και απολείς πάντας τους θλίβοντας την ψυχήν μου, ότι εγώ δούλός σου ειμί.

Είτα ψάλλομεν˙

Θεός Κύριος και επέφανεν ημίν˙ ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.

Στίχ. α΄. Εξομολογείσθε τω Κυρίω και επικαλείσθε το όνομα το άγιον αυτού.

Θεός Κύριος και επέφανεν ημίν˙ ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.

Στίχ. β΄. Πάντα τα έθνη εκύκλωσάν με και τω ονόματι Κυρίου ημυνάμην αυτούς.

Θεός Κύριος και επέφανεν ημίν˙ ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.

Στίχ. γ΄. Παρά Κυρίου εγένετο αύτη, και έστι θαυμαστή εν οφθαλμοίς ημών.

Θεός Κύριος και επέφανεν ημίν˙ ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.

Και είτα τα παρόντα Τροπάρια.

Ήχος δ΄. Τη Θεοτόκω εκτενώς.

Του Ταξιάρχου τω Ναώ νυν προσήλθομεν εν ευλαβεία οι πιστοί και προσπίπτομεν προ της Εικόνος της θαυματουργού κράζοντες και λέγοντες, Αρχιστράτηγε θείε, πρόφθασον και λύτρωσαι από πάσης ανάγκης ημάς και πάντας, Άρχον Μιχαήλ, τους προσδραμόντας πιστώς τη ση χάριτι.

Δόξα. Και νύν. Θεοτοκίον.

Τη Θεοτόκω εκτενώς νυν προσδράμωμεν, αμαρτωλοί και ταπεινοί και προσπέσωμεν εν μετανοία κράζοντες εκ βάθους ψυχής˙ Δέσποινα, βοήθησον, εφ΄ ημάς σπλαγχνισθείσα˙ σπεύσον απολλύμεθα υπό πλήθους πταισμάτων˙ μη αποστρέψεις σους δούλους κενούς˙ σε γαρ και μόνην ελπίδα κεκτήμεθα.

**Είτα επισυνάπτομεν τον Ν΄ Ψαλμόν˙**

ΨΑΛΜΟΣ Ν 50ος

Ελέησόν με ο Θεός κατά το μέγα έλεός σου, και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημά μου˙ Επί πλείον πλύνόν με από της ανομίας μου, και από της αμαρτίας μου καθάρισόν με. Ότι την ανομίαν μου εγώ γινώσκω, και η αμαρτία μου ενώπιόν μού εστί δια παντός. Σοι μόνω ήμαρτον, και το πονηρόν ενώπιόν σου εποίησα, όπως αν δικαιωθής εν τοις λόγοις σου, και νικήσης εν τω κρίνεσθαί σε. Ιδού γαρ εν ανομίαις συνελήφθην, και εν αμαρτίαις εκίσσησέ με η μήτηρ μου. Ιδού γαρ αλήθειαν ηγάπησας˙ τα άδηλα και τα κρύφια της σοφίας σου εδήλωσάς μοι. Ραντιείς με υσσώπω, και καθαρισθήσομαι˙ πλυνείς με, και υπέρ χιόνα λευκανθήσομαι. Ακουτιείς μοι αγαλλίασιν και ευφροσύνην˙ αγαλλιάσονται οστέα τεταπεινωμένα. Απόστρεψον το πρόσωπόν σου από των αμαρτιών μου, και πάσας τας ανομίας μου εξάλειψον. Καρδίαν καθαράν κτίσον εν εμοί ο Θεός, και Πνεύμα ευθές εγκαίνισον εν τοις εγκάτοις μου. Μη απορρίψης με από του προσώπου σου, και το Πνεύμα σου το Άγιον μη αντανέλης απ΄ εμού. Απόδος μοι την αγαλλίασιν του σωτηρίου σου και Πνεύματι ηγεμονικώ στήριξόν με. Διδάξω ανόμους τας οδούς σου, και ασεβείς επί σε επιστρέψουσι. Ρύσαί με εξ αιμάτων ο Θεός, ο Θεός της σωτηρίας μου˙ αγαλλιάσεται η γλώσσά μου την δικαιοσύνην σου. Κύριε, τα χείλη μου ανοίξεις, και το στόμα μου αναγγελεί την αίνεσίν σου. Ότι, ει ηθέλησας θυσίαν, έδωκα αν˙ ολοκαυτώματα ούκ ευδοκήσεις. Θυσία τω Θεώ πνεύμα συντετριμμένον˙ καρδίαν συντετριμμένην και τεταπεινωμένην ο Θεός ούκ εξουδενώσει. Αγάθυνον, Κύριε, εν τη ευδοκία σου την Σιών, και οικοδομηθήτω τα τείχη Ιερουσαλήμ. Τότε ευδοκήσεις θυσίαν δικαιοσύνης, αναφοράν και ολοκαυτώματα. Τότε ανοίσουσιν επί το θυσιαστήριόν σου μόσχους.

**Είτα αρχόμεθα του Κανόνος, ου η Ακροστιχίς˙**
**Θερμώς Μιχαήλ αιτούμαι την χάριν σου, Φ(ιλαρέτου).**

Ωδή α΄.
Ήχος πλ. δ΄. Υγράν διοδεύσας.
Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Θεού του Υψίστου τον Λειτουργόν υμνώ και γεραίρω˙ και αιτούμαι ως βοηθόν εις πάσαν του βίου τρικυμίαν τον Μιχαήλ των Αγγέλων τον πρόμαχον.

Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Ελθών ως ικέτης σου ταπεινός τη σεπτή Μονή σου Πανορμίτου, ώ Μιχαήλ, προσπίπτω τη θεία σου Εικόνι ευχαριστώ σοι θερμώς, Αρχιστράτηγε.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι.
Ροής των δακρύων μου, Μιχαήλ, δέχθητι ασμένως και καρδίας μου συντριβήν παρέχων μοι αύθις την υγείαν και σωτηρίαν ψυχής, ώ Πρωτάγγελε.

Και νυν και αεί και εις τους αιώνας των αιώνων αμήν.
Θεοτοκίον.
Μεγίστοις υπάρχων εν πειρασμοίς προς σε καταφεύγω σωτηρίαν επιζητών, ώ Μήτερ του Λόγου και Παρθένε, των δυσχερών και δεινών με διάσωσον.

Ωδή γ΄. Ουρανίας αψίδος
Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Ως προστάτην και σκέπην διηνεκώς κέκτημαι σε τον Ταξιάρχην Κυρίου και Μεγαλόχαρον˙ όθεν εκ τούτου θερμώς τη θεία ταύτη Μονή σου σήμερον προσέρχομαι χάριν αιτούμενος.

Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Συνεχόμενος φόβω και συντριβή ένδοθεν ως εν αμαρτίαις βιώσας, θείε Αρχάγγελε, και δια τούτο δεινώς ταλαιπωρούμαι ο

τάλας˙ όθεν συ με λύτρωσαι τη μεσιτεία σου.
Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι.
Μιχαήλ Πανορμίτα, των ευσεβών πρόμαχε και των ασθενούντων ο ρύστης ως τάχος πρόφθασον˙ και διαφύλαξον νυν εκ πειρασμών και κινδύνων πάντας τους προστρέχοντας τη θεία σκέπη σου.

Και νυν και αεί και εις τους αιώνας των αιώνων αμήν.
Θεοτοκίον.
Ικετεύω Παρθένε, τον ψυχικόν τάραχον και της αθυμίας την ζάλην διασκεδάσαι μου˙ συ γαρ, Θεόνυμφε, τον αρχηγόν της γαλήνης, τον Χριστόν εκύησας, μόνη Πανάχραντε.

Διάσωσον, ώ Ταξιάρχα, ημάς εκ παντός κινδύνου και ασφάλισον σην Μονήν και Νήσον εκ θλίψεων˙ Σε έχομεν κραταιόν γαρ Προστάτην.

Επίβλεψον εν ευμενεία, πανύμνητε Θεοτόκε, επί την εμήν χαλεπήν του σώματος κάκωσιν και ίασαι της ψυχής μου το άλγος.

**Είτα μνημονεύει ο Ιερεύς, δι' ούς η Παράκλησις γίνεται, και ψάλλομεν**
**το Κύριε ελέησον ιβ'.**
**Ο Ιερεύς: Ότι ελεήμων και φιλάνθρωπος Θεός…**
**Και ευθύς, το Κάθισμα.**

Ήχος β'. Πρεσβεία θερμή
Θεού λειτουργέ, Μιχαήλ Αρχιστράτηγε, Πανόρμου Μονής προστάτα και υπέρμαχε εκτενώς βοώμέν σοι˙ σπεύσον ώδε και ίασαι τους ασθενούντας οικτρώς αδελφούς και πάντας χαρίτωσον, θειότατε.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι. Και νυν και αεί και εις τους αιώνας των αιώνων αμήν. Θεοτοκίον.

Πρεσβεία θερμή και τείχος απροσμάχητον, ελέους πηγή, του κόσμου καταφύγιον, εκτενώς βοώμέν σοι˙ Θεοτόκε Δέσποινα, πρόφθασον και εκ κινδύνων λύτρωσαι ημάς, η μόνη ταχέως προστατεύουσα.

Ωδή δ΄. Εισακήκοα Κύριε.
Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Χαριστήριον αίνεσιν μετά ευλαβείας νυν αναμέλπω σοι, ώ τρισμέγιστε Αρχάγγελε, λυτρωθείς εκ πάντων των μισούντων με.

Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Απαλλάξας τον δείλαιον εκ των τυραννούντων με πολεμίων μου ταις λιταίς σου προς τον Κύριον Μιχαήλ θεόπτα, περιφρούρει με.

Δόξα Πατρί και Υιω και αγίω Πνεύματι.
Ηλιόμορφε Άγγελε, δίδου μοι βοήθειαν όπως πάντοτε τη ση λάμψει και ταις χάρισι διαλάμπω πάσιν ο ανάξιος.
Και νυν και αεί και εις τους αιώνας των αιώνων αμήν.

Θεοτοκίον.
Λύσον, Μήτερ, τον τάραχον η τον κυβερνήτην τεκούσα Κύριον και τον κλύδωνα κατεύνασον των εμών πταισμάτων, Θεονύμφευτε.

Ωδή ε΄. Φώτισον ημάς.
Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Άγνισον ημών τας ψυχάς τε και τα σώματα εκ πονηρών λογισμών, Μιχαήλ, αγγελικώς ίνα ζώμεν αεί θαυμάσιε.

Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Ίλεως ημίν όπως γένηται ο Κύριος ταις αμαρτίαις ημών,
Μιχαήλ, σοι εκδυσώπει αυτόν εκτενώς, πρωτάγγελε.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι.
Τείχισον ημάς εν τη σκέπη των πτερύγων σου ίνα θερμώς εν τω βίω παντί τον Ιησούν ως Θεόν ευλαβώς λατρεύωμεν.
Και νυν και αεί και εις τους αιώνας των αιώνων αμήν.

Θεοτοκίον.
Όλβιον Αγνή την ζωήν μου συ κατάστησον την σην ακήρατον διδούσα χαράν της ευφροσύνης η γεννήσασα τον αίτιον.

Ωδή στ΄. Την δέησιν εκχεώ.
Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Υμνήσωμεν, Μιχαήλ τον Άρχοντα προσκυνούντες και αυτού την Εικόνα εξ ής θαυμάτων το πλήθος προήλθε και χαριτόβρυτος πάσιν εγένετο. Δι΄ όπερ σήμερον αυτήν ευγνωμόνως τοις άνθεσι στέψωμεν.

Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Μεγάλυνον τον Σωτήρα Κύριον, ώ πληθύς Χριστιανών, εκ καρδίας και τον αυτού Αρχιστράτηγον άμα τον διασώζοντα πάντας εκ θλίψεων και νοσημάτων σοβαρών μεσιτείαις αυτού προς τον εύσπλαγχνον.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι.
Αγάλλεται η Μονή σου σήμερον, Μιχαήλ ώ Πανορμίτα, ενθέως ότι πολλών θαυμασίων εδείχθης τελετουργός και προστάτης θερμότατος των εν θαλάσσαις και δειναίς ασθενείαις σωτήρ ετοιμότατος.

Και νυν και αεί και εις τους αιώνας των αιώνων αμήν.
Θεοτοκίον.
Ιδού εγώ σε προστάτην κέκτημαι και φρουρόν εν τη ζωή μου, Παρθένε, των πειρασμών διαλύουσα όχλον και επηρείας δαιμόνων ελαύνουσαν˙ και δέομαι δια παντός εκ φθοράς των παθών μου ρυσθήναί με.

Διάσωσον, ώ Ταξιάρχα, ημάς εκ παντός κινδύνου και ασφάλισον σην Μονήν και Νήσον εκ θλίψεων˙ σε έχομεν κραταιόν γαρ Προστάτην.

Άχραντε, η δια λόγου τον Λόγον ανερμηνεύτως επ' εσχάτων των ημερών τεκούσα δυσώπησον ως έχουσα μητρικήν παρρησίαν.

**Ο Ιερεύς μνημονεύει, ως δεδήλωται. Και μετά την εκφώνησιν˙**
**Ότι ελεήμων..., ευθύς ψάλλομεν το επόμενον Κοντάκιον˙**

Ήχος β'.
Προστασία των Χριστιανών.

Πρωτοστάτα των επουρανίων Δυνάμεων, Πανορμίτα, των Χριστιανών ο υπέρμαχος δέξαι αύθις τας προσευχάς ημών των ταπεινών θερμώς κράζοντάς σοι, Μιχαήλ, εκ των παγίδων του Σατάν διαφύλαξον άπαντας˙ φρούρησον την Μονήν σου˙ διάσωσον τους νοσούντας˙ πάσι παρέχων δαψιλώς την ζωήρρυτον χάριν σου.

Προκείμενον.
Τον Άγγελον αυτού εντελείται περί σου του διαφυλάξαι σε εν πάσαις ταις οδοίς σου.
α'. Στίχ. Ότι έκλινε το ους αυτού εμοί και εν ταις ημέραις μου επικαλέσομαι.
β'. Στίχ. αγιωσύνη και μεγαλοπρέπεια εν τω Αγιάσματι αυτού.

**Ο Ιερεύς˙ Και υπέρ του καταξιωθήναι ημάς της ακροάσεως του**
**αγίου Ευαγγελίου, Κύριον τον Θεόν ημών ικετεύσωμεν. Σοφία,**
**ορθοί. Ακούσωμεν του αγίου Ευαγγελίου. Ειρήνη πάσι.**

**ΕΥΑΓΓΕΛΙΟΝ**

**Εκ του κατά Λουκάν αγίου Ευαγγελίου (κεφ. ι′ 16 – 21) το ανάγνωσμα. Πρόσχωμεν.**

Είπεν ο Κύριος τοις εαυτού μαθηταίς˙ ο ακούων υμών εμού ακούει, και ο αθετών υμάς εμέ αθετεί˙ ο δε εμέ αθετών αθετεί τον αποστείλαντά με. υπέστρεψαν δε οι εβδομήκοντα μετά χαράς λέγοντες˙ Κύριε, και τα δαιμόνια υποτάσσεται ημίν εν τω ονόματί σου. Είπε δε αυτοίς˙ εθεώρουν τον σατανάν ως αστραπήν εκ του ουρανού πεσόντα. Ιδού δίδωμι υμίν την εξουσίαν του πατείν επάνω όφεων και σκορπίων και επί πάσαν την δύναμιν του εχθρού, και ουδέν υμάς ου μη αδικήση. Πλην εν τούτω μη χαίρετε, ότι τα πνεύματα υμίν υποτάσσεται˙ χαίρετε δε ότι τα ονόματα υμών εγράφη εν τοις ουρανοίς. Εν αυτή τη ώρα ηγαλλιάσατο τω πνεύματι ο Ιησούς και είπεν˙ εξομολογούμαί σοι, πάτερ, κύριε του ουρανού και της γης, ότι απέκρυψας ταύτα από σοφών και συνετών, και απεκάλυψας αυτά νηπίοις˙ ναι, ο πατήρ, ότι ούτως εγένετο ευδοκία έμπροσθέν σου.

Ο Χορός˙ Δόξα σοι, Κύριε˙ δόξα σοι
Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι.
Ήχος β′.

Ταις του Αρχαγγέλου, Οικτίρμον, μεσιτείαις εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Και νυν και αεί και εις τους αιώνας των αιώνων αμήν.
Ταις της Θεοτόκου, πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Είτα τον Στίχον˙
Ελέησόν με ο Θεός, κατά το μέγα έλεός σου, και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημά μου.
Και επισυνάπτομεν το παρόν Τροπάριον˙

Ήχος πλ. β΄. Όλην αποθέμενοι.
Μέγιστε Αρχάγγελε, ώ Μιχαήλ Πανορμίτα, σήμερον τιμώμέν σε σω Ναώ ιστάμενοι οι ανάξιοι˙ και θερμοίς δάκρυσι τήνδε ικεσίαν καταθέτομεν δεόμενοι λύτρωσαι άπαντας από νόσων άμα και θλίψεων˙ και σώσον κινδυνεύοντας και αδικουμένους, πανάριστε. Και τους εν θαλάσσαις κυβέρνησον ως μόνος δυνατός, και εις λιμένα τον εύδιον σώους επανάγαγε.

**Είτα ο Ιερεύς˙**
Σώσον ο Θεός τον λαόν σου, και ευλόγησον την κληρονομίαν σου. Επίσκεψαι τον κόσμον σου εν ελέει και οικτιρμοίς. Ύψωσον κέρας Χριστιανών ορθοδόξων. Και κατάπεμψον εφ΄ ημάς τα ελέη σου τα πλούσια˙ πρεσβείαις της Παναχράντου Δεσποίνης ημών Θεοτόκου και αειπαρθένου Μαρίας˙ δυνάμει του τιμίου και ζωοποιού Σταυρού˙ προστασίαις του παμμεγίστου Ταξιάρχου Μιχαήλ, του Πανορμίτου, Πολιούχου και Προστάτου ημών˙ ικεσίαις του τιμίου και ενδόξου Προφήτου Προδρόμου και Βαπτιστού Ιωάννου˙ των αγίων ενδόξων και πανευφήμων Αποστόλων˙ του αγίου ενδόξου Αποστόλου και Ευαγγελιστού Ιωάννου του Θεολόγου˙ των αγίων Ιεραρχών, των καλλινίκων Μαρτύρων και Ιερομαρτύρων˙ των οσίων και θεοφόρων Πατέρων ημών˙ των ιαματικών Αναργύρων˙ των αγίων και δικαίων θεοπατόρων Ιωακείμ και Άννης˙ του αγίου… (δείνος), ου και την μνήμην επιτελούμεν και πάντων σου των Αγίων, ικετεύομέν σε, μόνε πολυέλεε Κύριε, επάκουσον ημών των αμαρτωλών δεομένων σου και ελέησον ημάς.
**Και ψάλλομεν το˙ Κύριε ελέησον, ιβ΄. Είτα την εκφώνησιν, Ελέει και οικτιρμοίς… Μεθ΄ ό˙**

Ωδή ζ΄. Οι εκ της Ιουδαίας.

Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Την αγίαν σου σκέπην εφαπλοίς εσαεί πανταχού, θαυμάσιε, παρέχουσαν αφθόνως την θείαν προστασίαν δι΄ ό άπαντες κράζομεν˙ ώ Ταξιάρχα, θερμώς εν σοι ευχαριστούμεν.

Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Η Μονή σου τρισμάκαρ θαυμασία εδείχθη εν τη Εικόνι σου˙ δι΄ ό εις Πανορμίτην προτρέχουσιν ασμένως οι πιστοί ανακράζοντες˙ ο των Πατέρων ημών Θεός, ευλογητός εί.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι.
Νηνεμίαν χαρίζεις τοις θαλάσσαις δειναίς και κινδύνοις πλέουσι την λύτρωσιν παρέχεις ως σε επικαλούνται, Μιχαήλ αστραπόμορφε, Σε ανυμνούμεν πιστώς εις πάντας τους αιώνας.

Και νυν και αεί και εις τους αιώνας των αιώνων αμήν.
Θεοτοκίον.
Χαριτόβρυτον όντως και πηγήν αφθαρσίας την σε κυήσασαν και πύργον ασφαλείας και θύραν μετανοίας τοις κραυγάζουσιν έδειξας˙ ο των Πατέρων ημών Θεός, ευλογητός εί.

Ωδή η΄.
Τον Βασιλέα των ουρανών.
Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Ασμένως ρώσιν τοις ασθενούσι βραβεύεις τοις πιστώς προστρέχουσί σοι, Μάκαρ, και υπερυψούσι τα θεία θαύματά σου.

Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Ρύσαι σους δούλους εκ των Βελίαρ σκανδάλων, Μιχαήλ Αρχιστράτηγε θείε, φρουρών ημάς άμφω εις πάντας τους αιώνας.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι.
Ιδέ εν Σύμη ο θείος ούτος Ναός σου καταφύγιον οράται πονούντων˙ και λιμήν υπάρχει γαλήνιος πλεόντων.
Και νυν και αεί και εις τους αιώνας των αιώνων αμήν.

Θεοτοκίον.
Νόσους παντοίας τας της ψυχής ιατρεύεις και σαρκός τας οδύνας, Παρθένε, ίνα σε δοξάζω την Κεχαριτωμένην.

Ωδή θ΄. Κυρίως Θεοτόκον.
Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Συμφώνως, θείε Νόε, μετά των Αγγέλων τη φωταυγεί παρουσία σου πάντοτε διακονείς τω Κυρίω εις το σωθήναι ημάς.

Αρχάγγελε του Θεού, πρέσβευε υπέρ ημών.
Ομόθυμον τον ύμνον φόβω αναμέλπων τω Τρισηλίω Θεώ, Αρχιστράτηγε, και τας ημών νυν δεήσεις Αυτώ προσάγαγε.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι.
Υμνούμεν τον Σωτήρα Χριστόν εκ καρδίας και Μιχαήλ τον Αρχάγγελον πάντοτε, ότι ημάς διασώζουν εκ περιστάσεων.
Και νυν και αεί και εις τους αιώνας των αιώνων αμήν.

Θεοτοκίον.
Φωτός σου ταις ακτίσι λάμπρυνον, Παρθένε, το ζοφερόν της αγνοίας διώκουσα, τους ευσεβώς Θεοτόκον, σε καταγγέλοντας.

Και ευθύς.

Ἀξιόν εστίν ως αληθώς, μακαρίζειν σε την Θεοτόκον, την αειμακάριστον και παναμώμητον και μητέρα του Θεού ημών. Την τιμιωτέραν των Χερουβείμ και ενδοξοτέραν ασυγκρίτως των Σεραφείμ, την αδιαφθόρως Θεόν Λόγον τεκούσα˙ την όντως Θεοτόκον σε μεγαλύνομεν.

**Και θυμιά ο Ιερεύς**
**Το Θυσιαστήριον και τον λαόν, ημείς δε ψάλλομεν τα παρόντα Μεγαλυνάρια˙**

Χαίροις, αξιΰμνητε Μιχαήλ, Πρωτάγγελε θείε, Ασωμάτων μυσταγωγέ. Χαίροις του Κυρίου, πανάριστος κινύρα και της αΰλου δόξης λαμπρόν απαύγασμα.

Δέξαι, ώ παμμέγιστε Μιχαήλ, ημών τας δεήσεις, ας προσάγαγε τω Θεώ, αιτούμενος πάσιν ομόνοιαν ειρήνην και λύτρωσιν εκ πόνων τη μεσιτεία σου.

Πρόφθασον, Αρχάγγελε Μιχαήλ, και φρούρει αγρύπνως Εκκλησίαν την του Θεού εν Βασιλευούση˙ και τη Ορθοδοξία παράσχου θαυμασίως πάση τον θρίαμβον.

Σκέπε, Μεγαλόχαρε Μιχαήλ, της Ορθοδοξίας Αρχιποίμενα τον κλεινόν άμα και τον Κλήρον και τον Λαόν Κυρίου δωρούμενος υγείαν αυτοίς, θαυμάσιε.

Φρούρει, αστραπόμορφε Μιχαήλ, την Μονήν σου ταύτην, τους Πατέρας και Αδελφούς άμα τους Εφόρους αυτής και Ευεργέτας από παντός κινδύνου και περιστάσεως.

Τους προσερχομένους τη ση Μονή εν πίστει και πόθω ορθοδόξους Χριστιανούς, σκέπε και ευλόγει δωρούμενος υγείαν και πάσαν ευρωστίαν, θείε Αρχάγγελε.

Της Δωδεκανήσου ο θησαυρός Σύμης Κω και Ρόδου της Καλύμνου ο βοηθός απάσης Ελλάδος, ώ μέγα Ταξιάρχα, Χριστιανών το κέρας, εί Μεγαλόχαρε.

Τους ναυτιλλομένους Χριστιανούς τους εν ταις θαλάσσαις κινδυνεύοντας αδελφούς τους το όνομά σου θερμώς αναβοώντας διάσωσον εν τάχει, θείε Πρωτάγγελε.

**Έτερα Μεγαλυνάρια**
**Εκ χειρογράφου της Ι. Μονής.**

Ώ της θεωρίας Σου της φρικτής και της καλλονής Σου της πυρίνου και θεαυγούς κατέχεις το σκήπτρον Μιχαήλ τη χειρί Σου και μέλπεις τη Τριάδι ύμνον Τρισάγιον.

Έχων Σε προστάτην και βοηθόν, φύλακα και σκέπην της ψυχής μου της ταπεινής˙ Μιχαήλ πρωτάρχα, και Μέγα Ταξιάρχα, εν ώρα του θανάτου Συ μοί βοήθησον.

Χαίροις ιερώτατε Γαβριήλ, χαίροις πρωτοστάτα των Αγγέλων προμηνυτά, χαίροις ο το Χαίρε μηνύσας τη Παρθένω εν Ναζαρέτ τη πόλει Ήν μεγαλύνομεν.

**Και τα έτερα δύο ταύτα, Ανωνύμου.**

Μιχαήλ Αρχάγγελε του Θεού, μη έλθης ως λέων αγριώτατος εις εμέ μηδέ την ψυχήν μου αρπάσης ως στρουθίον εν ώρα του θανάτου συ μοί βοήθησον.

Δεύτε ευφημήσωμεν οι πιστοί, τους δύο φωστήρας, τους μεγάλους και φωταυγείς, Μιχαήλ τον μέγαν και Γαβριήλ τον θείον, τους δύο Ταξιάρχας του Παντοκράτορος.

Πάσαι των Αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου, Αποστόλων η δωδεκάς, οι Άγιοι πάντες, μετά της Θεοτόκου ποιήσατε πρεσβείαν εις το σωθήναι ημάς.

**Είτα το, Τρισάγιον, Παναγία Τριάς. Πάτερ ημών.**

**Ο Ιερεύς˙ Ότι σου εστίν.**
**Και ευθύς το Απολυτίκιον˙**
Ήχος δ΄.
Των ουρανίων στρατιών, Αρχιστράτηγε, δυσωπούμέν σε αεί ημείς οι ανάξιοι˙ ίνα ταις σαις δεήσεσι τειχίσης ημάς, σκέπη των πτερύγων της αΰλου σου δόξης, φρουρών ημάς προσπίπτοντας εκτενώς και βοώντας εκ των κινδύνων λύτρωσαι ημάς, ως Ταξιάρχης των άνω Δυνάμεων.

**Έτερον Ανωνύμου.**
Ήχος πλ. α΄.
Τον συνάναρχον Λόγον…
Της Μονής του Πανόρμου προστάτης πέφυκας, ένθα υπάρχει παμμάκαρ ως θησαυρός δωρεών, η σεπτή και αγία Εικόνα σου. Ταξιάρχα Μιχαήλ αξιοθαύμαστε˙ προς ήν προστρέχει ευλαβώς ο περιούσιος Λαός, αιτών πταισμάτων την λύσιν˙ και των ψυχών σωτηρία, ώ Τα ξιάρχα μεσιτείαις Σου.

**Ο Ιερεύς. Ελέησον ημάς ο Θεός…**
**Έτι δεόμεθα υπέρ των ευσεβών…**
**Έτι δεόμεθα υπέρ του Αρχιεπισκόπου…**
**Έτι δεόμεθα υπέρ ελέους ζωής…**
**Έτι δεόμεθα υπέρ του διαφυλαχθήναι…**

**Έτι δεόμεθα υπέρ του εισακούσαι…**

**Και την Ευχήν˙**
**Επάκουσον ημών ο Θεός…**
**Και απόλυσις.**

**Προ του Δι’ ευχών, επισυνάπτεται το παρόν προσόμοιον˙**

Ήχος β’. Ότε εκ του ξύλου.

Δεύτε, νυν προσπέσωμεν πιστώς, ώ Χριστιανοί, τη Εικόνι του Ταξιάρχου ημών κράζοντες εν δάκρυσι και στεναγμοίς εκτενώς˙ Μιχαήλ Αρχιστράτηγε, της Σύμης το θαύμα, πρόφθασον και λύτρωσαι ημάς εκ άμφω πάσι τοις νοσούσι˙ και δείξον την φιλανθρωπίαν σου, πανένδοξε.